οὐκ ἐγενήθη ὑπὸ τὸν οὐρανὸν καθότι ἐγενήθη ἐν Ιερουσαλημ. 𝔊
13 [13]κατὰ τὰ γεγραμμένα ἐν διαθήκῃ Μωσῆ πάντα τὰ κακὰ ἐπῆλθεν
ἡμῖν, καὶ οὐκ ἐξεζητήσαμεν τὸ πρόσωπον κυρίου θεοῦ ἡμῶν ἀπο-
στῆναι ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν καὶ διανοηθῆναι τὴν δικαιοσύνην
14 σου, κύριε. [14]καὶ ἠγρύπνησε κύριος ὁ θεὸς ἐπὶ τὰ κακὰ καὶ ἐπ-
ήγαγεν ἐφ᾽ ἡμᾶς, ὅτι δίκαιος κύριος ὁ θεὸς ἡμῶν ἐπὶ πάντα, ὅσα
15 ἂν ποιήσῃ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ. [15]καὶ νῦν, δέ-
σποτα κύριε ὁ θεὸς ἡμῶν ὁ ἐξαγαγὼν τὸν λαόν σου ἐξ Αἰγύπτου
τῷ βραχίονί σου τῷ ὑψηλῷ καὶ ἐποίησας σεαυτῷ ὄνομα κατὰ τὴν
16 ἡμέραν ταύτην, ἡμάρτομεν, ἠγνοήκαμεν. [16]δέσποτα, κατὰ τὴν δι-
καιοσύνην σου ἀποστραφήτω ὁ θυμός σου καὶ ἡ ὀργή σου ἀπὸ
τῆς πόλεώς σου Ιερουσαλημ ὄρους τοῦ ἁγίου σου, ὅτι ἐν ταῖς
ἁμαρτίαις ἡμῶν καὶ ἐν ταῖς ἀγνοίαις τῶν πατέρων ἡμῶν Ιερου-
σαλημ καὶ ὁ δῆμός σου, κύριε, εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς περι-
17 κύκλῳ ἡμῶν. [17]καὶ νῦν ἐπάκουσον, δέσποτα, τῆς προσευχῆς τοῦ
παιδός σου καὶ ἐπὶ τὰς δεήσεις μου, καὶ ἐπιβλεψάτω τὸ πρόσωπόν
σου ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου τὸ ἔρημον ἕνεκεν τῶν δούλων σου,
18 δέσποτα. [18]πρόσχες, κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου· ἄνοι-

---

ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς κακὰ μεγάλα, οἷα οὐ γέγονεν ὑποκάτω παντὸς θ'
13 τοῦ οὐρανοῦ κατὰ τὰ γενόμενα ἐν Ιερουσαλημ. [13]καθὼς γέγραπται
ἐν τῷ νόμῳ Μωυσῆ, πάντα τὰ κακὰ ταῦτα ἦλθεν ἐφ᾽ ἡμᾶς, καὶ
οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου τοῦ θεοῦ ἡμῶν ἀποστρέψαι
ἀπὸ τῶν ἀδικιῶν ἡμῶν καὶ τοῦ συνιέναι ἐν πάσῃ ἀληθείᾳ σου.
14 [14]καὶ ἐγρηγόρησεν κύριος καὶ ἐπήγαγεν αὐτὰ ἐφ᾽ ἡμᾶς, ὅτι δίκαιος
κύριος ὁ θεὸς ἡμῶν ἐπὶ πᾶσαν τὴν ποίησιν αὐτοῦ, ἣν ἐποίησεν,
15 καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς αὐτοῦ. [15]καὶ νῦν, κύριε ὁ θεὸς
ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κρα-
ταιᾷ καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη, ἡμάρτομεν,
16 ἠνομήσαμεν. [16]κύριε, ἐν πάσῃ ἐλεημοσύνῃ σου ἀποστραφήτω δὴ
ὁ θυμός σου καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ιερουσαλημ
ὄρους ἁγίου σου, ὅτι ἡμάρτομεν, καὶ ἐν ταῖς ἀδικίαις ἡμῶν καὶ
τῶν πατέρων ἡμῶν Ιερουσαλημ καὶ ὁ λαός σου εἰς ὀνειδισμὸν
17 ἐγένετο ἐν πᾶσιν τοῖς περικύκλῳ ἡμῶν. [17]καὶ νῦν εἰσάκουσον,
κύριε ὁ θεὸς ἡμῶν, τῆς προσευχῆς τοῦ δούλου σου καὶ τῶν δε-
ήσεων αὐτοῦ καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου
18 τὸ ἔρημον ἕνεκέν σου, κύριε. [18]κλῖνον, ὁ θεός μου, τὸ οὖς σου
καὶ ἄκουσον· ἄνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἰδὲ τὸν ἀφανισμὸν

12 οια] α A† | γενομενα] γεγραμμενα AQ† || 13 τω > A || 14 κυριος $1^0$ Bpau.] + ο θεος ημων επι την κακιαν rel. | κυριος $2^0$ > A† || 16 και $2^0$ > Apl. || 17 εισακ./κυρ. ο θεος ημων] tr. A || 18 ανοιξον] pr. και A†